νήματα δ' ἵετο πέδῳ,
σκύλων Φρυγίων ἐπὶ τύμβον ἀγάλ-
ματα συστολίσαι χρῄζουσα λίνῳ,
φάρεα πορφύρεα, δῶρα Κλυταιμνήστρᾳ.
προσεῖπεν δ' Ὀρέστας
Λάκαιναν κόραν· ὦ
Διὸς παῖ, θὲς ἴχνος
πέδῳ δεῦρ' ἀποστᾶσα κλισμοῦ,
Πέλοπος ἐπὶ προπάτορος
ἕδραν παλαιᾶς ἑστίας,
ἵν' εἰδῇς λόγους ἐμούς.
ἄγει δ' ἄγει νιν· ἃ δ' ἐφείπετ',
οὐ πρόμαντις ὧν ἔμελλεν·
ὁ δὲ συνεργὸς ἄλλ' ἔπρασσ'
ἰὼν κακὸς Φωκεύς·
οὐκ ἐκποδὼν ἴτ', ἀλλ' ἀεὶ κακοὶ Φρύγες;
ἔκλῃσε δ' ἄλλον ἄλλοσ' ἐν στέγαις·
τοὺς μὲν ἐν σταθμοῖσιν ἱππικοῖσι,
τοὺς δ' ἐν ἐξέδραισι, τοὺς δ' ἐκεῖσ' ἐκεῖθεν
ἄλλον ἄλλοσε διαρμόσας ἀποπρὸ δεσποίνας.
ΧΟ. τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίγνετο;
ΦΡ. Ἰδαία μᾶτερ μᾶτερ
ὀβρίμα ὀβρίμα, αἰαῖ,
φονίων παθέων ἀνόμων τε κακῶν
ἅπερ ἔδρακον ἔδρακον ἐν δόμοις τυράννων.
ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
ξίφη σπάσαντες ἐν χεροῖν,
ἄλλος ἄλλοσε
δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
ὡς κάπροι δ' ὀρέστεροι γυναικὸς ἀντίοι σταθέν-
τες
ἐννέπουσι· κατθανεῖ
κατθανεῖ, κακός σ' ἀποκτείνει πόσις,

---

1433. νῆμά θ' Ec 1445. ἔμελλε παθεῖν C 1448. αἰεί C 1449. ἱππικοῖς C 1453. μᾶτερ semel C 1462. ἀποκτείνει γρ. ἀποκτενεῖ A ἀποκτενεῖ F ἀποκτείνει ceteri.